MEN.
Ὦ Σώκρατες,
ἤκουον μὲν ἔγωγε πρὶν καὶ συγγενέσθαι σοι,
ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν·

καὶ νῦν,
ὥς γέ μοι δοκεῖς,
γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπᾴδεις,
ὥστε μεστὸν ἀπορίας γεγονέναι.

Καὶ δοκεῖς μοι παντελῶς,
εἰ δεῖ τι καὶ σκῶψαι,
ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ·

καὶ γὰρ αὕτη τὸν ἀεὶ πλησιάζοντα καὶ ἁπτόμενον ναρκᾶν ποιεῖ,
καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, [ναρκᾶν]·

ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ στόμα ναρκῶ,
καὶ οὐκ ἔχω ὅτι ἀποκρίνωμαί σοι.

Καίτοι μυριάκις γε περὶ ἀρετῆς παμπόλλους λόγους εἴρηκα καὶ πρὸς πολλούς,
καὶ πάνυ εὖ,
ὥς γε ἐμαυτῷ ἐδόκουν·

νῦν δὲ οὐδ’ ὅτι ἐστὶν τὸ παράπαν ἔχω εἰπεῖν.

Καί μοι δοκεῖς εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε οὐδ’ ἀποδημῶν·

εἰ γὰρ ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς,
τάχ’ ἂν ὡς γόης ἀπαχθείης.